Εἰ δέ γε βαιὸς ἔοικε πόνος, καὶ σῶμα μελίττης,
εἰ καὶ τυτθὸν, ὅμως νέκταρ ἀποσταλάει.

ΕΙΣ ΤΑΣ ΟΥΡΒΑΝΙΤΙΔΑΣ ΜΕΛΙΤΤΑΣ.

Τρεῖς Ὥρας, τρισσὰς Χάριτας, τρισσάς τε θεαίνας
ἄντα ἐριζούσας ἔννεπον ὑμνοπόλοι·
τρεῖς δὲ ἁμιλλῶνται γλῶσσαι τρισσαῖσι μελίτταις,
οὐδετέρη κρατέει, Οὐρβανὸς εἷς ἐν ὅλαις.
Παντελεήμονος Λιγαρείδου τοῦ Χίου.

ΕΙΣ ΤΟΝ ΣΟΦΩΤΑΤΟΝ ΠΕΤΡΟΝ ΑΡΚΟΥΔΗΝ
ΕΛΕΓΕΙΟΝ ΤΟΥ ΑΥΤΟΥ.

Ἤριπες, ὦ Πέτρος πεπετρωμένε πίστεϊ Πέτρου,
ἤριπες ἀρραγέος Πέτρε θεηλογίης·
ἄρκυσι δεσμεύθης Ἀρκούδιος αἰὲν ἀφύκτοις,
ἄρκυσι μοιριδίαις καὶ σταλίκεσσι μόρου.
Νῦν παλάμας κροτέουσιν ἀλιτροὶ σχισματολάτραι,
σεῖο ἀποφθιμένου βιβλοθεοτριβέος·
αἱρέσεων πρόπολοι, πατρώϊα καινοτομοῦντες
δόγματα, ὀρχεῦνται ποσσὶν ὑπηνεμίοις,
ὅττι ἀπεσβέσθη Ῥώμης λύχνος, ἄστρον Ἑῴας,
Φαιήκων κρύφθη παμφανέων Φαέθων,
πίστιος ἰθύνων ἀπλανῆ λόγον, ἱερομύστης
ἴχνια εἰσβαίνων εὐαγέων πατέρων.
Ἀλλὰ θανὼν λαλέει συγγράμμασι, τεύχεα τούτου
μυρία ὡς γλῶσσαι πᾶσι μενοῦσι λάλαι.
Ὕμμι ματαιολόγοις ἐκφθέγξεται, οὔποτε λήξει
ἀντεπιχειρήσων φαυλεπιφαυλοτάτοις·
ἀνδράσι δ' εὐσεβέεσσι γενήσεται ἄλλος ἀπ' ἄστρων
ἀρκτοῦρος σοφίης, πίστιος ἀρκτοφύλαξ.

Bibliothèque de l'Arsenal : Théologie, 5084. 4°.